ἁπτόμεναι ἀλλήλων αἱ ΕΘ ΘΗ παρὰ δύο εὐθείας ἁπτομένας ἀλλήλων τὰς ΚΔ ΔΛ εἰσὶν οὐκ ἐν τῷ αὐτῷ ἐπιπέδῳ οὖσαι. ἴσας γωνίας περιέξουσιν. ἴση ἄρα ἐστὶν ἡ ὑπὸ ΕΘΗ γωνία τῇ ὑπὸ ΚΔΛ γωνίᾳ. καὶ ἐπεὶ δύο εὐθεῖαι αἱ ΕΘ ΘΗ δυσὶ ταῖς ΚΔ ΔΛ ἴσαι εἰσὶν ἑκατέρα ἑκατέρᾳ. καὶ γωνία ἡ ὑπὸ ΕΘΗ γωνίᾳ τῇ ὑπὸ ΚΔΛ ἐστὶν ἴση. βάσις ἄρα ἡ ὑπὸ ΕΗ βάσει τῇ ΚΛ ἐστὶν ἴση. ἴσον ἄρα καὶ ὅμοιόν ἐστι τὸ ΕΘΗ τρίγωνον τῷ ΚΔΛ τριγώνῳ. διὰ τὰ αὐτὰ δὴ καὶ τὸ ΑΕΗ τρίγωνον τῷ ΘΚΛ τριγώνῳ ἴσον τε καὶ ὅμοιόν ἐστιν. ἡ ἄρα πυραμὶς ἧς βάσις μέν ἐστι τὸ ΑΕΗ τρίγωνον, κορυφὴ δὲ τὸ Θ σημεῖον, ἴση καὶ ὁμοία ἐστὶ πυραμίδι ἧς βάσις μέν ἐστι τὸ ΘΚΛ τρίγωνον, κορυφὴ δὲ τὸ Δ σημεῖον. καὶ ἐπεὶ τριγώνου τοῦ ΑΔΒ παρὰ μίαν τῶν πλευρῶν τὴν ΑΒ ἦκται ἡ ΘΚ, ἰσογώνιόν ἐστι τὸ ΑΔΒ τρίγωνον τῷ ΔΚΘ τριγώνῳ καὶ τὰς πλευρὰς ἀνάλογον ἔχουσιν. ὅμοιον ἄρα ἐστὶ τὸ ΑΔΒ τρίγωνον τῷ ΔΘΚ τριγώνῳ. διὰ τὰ αὐτὰ δὴ καὶ τὸ μὲν ΔΒΓ τρίγωνον τῷ ΔΚΛ τριγώνῳ ὅμοιόν ἐστι. τὸ δὲ ΑΔΓ τῷ ΔΛΘ τριγώνῳ. καὶ ἐπεὶ δύο εὐθεῖαι ἁπτόμεναι ἀλλήλων αἱ ΒΑ ΑΓ παρὰ δύο εὐθείας ἁπτομένας ἀλλήλων τὰς ΚΘ ΘΛ εἰσὶν οὐκ ἐν τῷ αὐτῷ ἐπιπέδῳ, ἴσας γωνίας περιέξουσιν. ἴση ἄρα ἐστὶν ἡ ὑπὸ ΒΑΓ γωνία τῇ ὑπὸ ΚΘΛ. καί ἐστιν ὡς ἡ ΒΑ πρὸς τὴν ΑΓ, οὕτως ἡ ΚΘ πρὸς τὴν ΘΛ. ὅμοιον ἄρα ἐστὶ τὸ ΑΒΓ τρίγωνον τῷ ΘΚΛ τριγώνῳ. καὶ πυραμὶς ἄρα ἧς βάσις μέν ἐστι

ἐπεὶ ἐν τῷ δευτέρῳ θεωρήματι τοῦ ς΄ βιβ. λέγει ἐὰν τριγώνου παρὰ μίαν τῶν πλευρῶν ἀχθῇ τις εὐθεῖα, ἀνάλογον τεμεῖ τὰς τοῦ τριγώνου π. ἐν δὲ τῷ ε΄ θεωρήματι τοῦ αὐ. βιβ. ἐὰν ᾖ δύο τρίγωνα τὰς πλευρὰς ἀνάλογον ἔχῃ, ἰσογώνια ἔσται τὰ τρίγωνα.

διὰ τὸ ι΄ τοῦ ια΄

διὰ τὸ ς΄ τοῦ ς΄

---

τὸ ΑΒΓ τρίγωνον κορυφὴ δὲ τὸ Δ σημεῖον ὁμοία ἐστὶ πυραμίδι. ἧς βάσις μέν ἐστι τὸ ΘΚΛ τρίγωνον. κορυφὴ δὲ τὸ Δ σημεῖον. ἀλλὰ πυραμὶς ἧς βάσις μὲν /· τὸ ΑΕΗ τρίγωνον. κορυφὴ δὲ τὸ Θ σημεῖον. ὥστε καὶ πυραμὶς ἧς βάσις μὲν τὸ ΑΒΓ τρίγωνον κορυφὴ δὲ τὸ Δ σημεῖον ὁμοία ἐστὶ πυραμίδι ἧς βάσις μὲν τὸ ΑΕΗ τρίγωνον. κορυφὴ δὲ τὸ Θ σημεῖον. ἑκατέρα ἄρα τῶν ΑΕΗΘ ΘΚΛΔ πυραμίδων ὁμοία ἐστὶ τῇ ὅλῃ τῇ ΑΒΓΔ πυραμίδι. καὶ ἐπεὶ ἴση ἐστὶν ἡ ΒΖ τῇ ΖΓ. διπλάσιόν ἐστι τὸ ΕΒΖΗ παραλληλόγραμμον τοῦ ΗΖΓ τριγώνου. καὶ ἐπεὶ ἐὰν ᾖ δύο πρίσματα ἰσοϋψῆ καὶ τὸ μὲν ἔχῃ βάσιν παραλληλόγραμμον. τὸ δὲ τρίγωνον. διπλάσιον δὲ ᾖ τὸ παραλληλόγραμμον τοῦ τριγώνου. ἴσα ἐστὶ τὰ πρίσματα. ἴσον ἄρα ἐστὶ τὸ πρίσμα τὸ περιεχόμενον ὑπὸ δύο μὲν τριγώνων τῶν ΒΚΖ ΕΘΗ. τριῶν δὲ παραλληλογράμμων τῶν /· [illegible] τῷ πρίσματι τῷ περιεχομένῳ ὑπὸ δύο μὲν τριγώνων τῶν ΗΖΓ ΘΚΛ. τριῶν δὲ παραλληλογράμμων τῶν ΚΖΓΛ ΛΓΗΘ ΘΚΖΗ. καὶ φανερὸν ὅτι ἑκάτερον τῶν πρισμάτων οὗ τε βάσις τὸ ΕΒΖΗ παραλληλόγραμμον. ἀπεναντίον δὲ ἡ ΘΚ εὐθεῖα καὶ οὗ βάσις τὸ ΗΖΓ τρίγωνον. ἀπεναντίον δὲ τὸ ΘΚΛ τρίγωνον μεῖζόν ἐστιν ἑκατέρας τῶν πυραμίδων. ὧν βάσεις μὲν τὰ ΑΕΗ ΘΚΛ τρίγωνα. κορυφαὶ δὲ τὰ Θ Δ σημεῖα. ἐπειδήπερ ἐὰν ἐπιζεύξωμεν τὰς ΕΖ ΕΚ εὐθείας. τὸ μὲν πρίσμα οὗ βάσις τὸ ΕΒΖΗ

/· τὸ ΘΚΛ ▽ κορυφὴ δὲ τὸ Δ σημ. ὁμοία δὲ δέδεικται πυραμίδι ἧς βάσις μὲν ἐστὶ τὸ /·

ἐὰν ᾖ τριγώνῳ παραλληλόγραμμον βάσιν ἴσην ἔχον ἐν ταῖς αὐταῖς παραλλήλοις, διπλάσιόν ἐστι τὸ παραλληλόγραμμον τοῦ τριγώνου.

διὰ τὸ μα΄ τοῦ α΄

διὰ τὸ τελευταῖον τοῦ ια΄

/· ΕΒ ΖΗ ΕΒ
ΚΘ ΘΚ ΖΗ

BIBLIOTHECA BODLEIANA